# ΑΚΟΛΟΥΘΙΑ
# ΠΑΝΤΩΝ ΤΩΝ ΑΓΙΩΝ ΙΑΤΡΩΝ

Ψαλλομένη τῇ πλησιεστέρᾳ τῇ ιζ΄ Ὀκτωβρίου Κυριακῇ.

Ποιηθεῖσα
ὑπὸ Κυρίλλου Μητροπολίτου Ῥόδου.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Ὁ Προοιμιακὸς καὶ τό «Μακάριος ἀνήρ». Εἰς δὲ τό «Κύριε ἐκέκραξα» ἱστῶμεν στίχ. ι΄ καὶ ψάλλομεν Ἀναστάσιμα Στιχηρὰ δ΄ καὶ τῶν Ἁγίων τὰ κάτωθι στ΄.

Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.

Δεῦτε οἱ πιστοί συνδράμωμεν, Ἰατρῶν εὐκλεῶν, τὴν ἁγίαν σύναξιν, τελοῦντες χαρμονικῶς, ἐν ὕμνοις σήμερον· ἐπέστη γὰρ φωταυγής, τῇ φωταυγείᾳ Κυρίου τῆς χάριτος, φωτίζουσα τὰς ψυχάς, τῶν πρὸς αὐτούς ἐκβοώντων ἐκ πίστεως· Χαῖρε ἱερὰ χορεία, οἱ ἐκμιμησάμενοι, ἐντολῇ τῆς ἀγάπης, τοῦ Δεσπότου τὸ φιλάνθρωπον.

Λόγον τὸν Χριστοῦ φυλάξαντες, τῆς σεπτῆς ἀμπέλου, Ἐκκλησίας ὤφθητε, οἱ Ἅγιοι Ἰατροί, ὡς θεῖοι βότρυες, προχέοντες μυστικῶς, τῶν ἰαμάτων τὸν οἶνον γλυκύτατον, τὴν μέθην τὴν τῶν παθῶν, ἀποσοβοῦντα καὶ πάντας εὐφραίνοντα, πρὸς ὑμᾶς τοὺς προσιόντας, καὶ Θεὸν δοξάζοντας, εἰς αἰῶνας αἰώνων, ἐν ὑμῖν τὸν ὑπερθαύμαστον.

Χαίροις ἡ λαμπρὰ συνέλευσις, Ἰατρῶν ἐνθέων, οἱ Χριστῷ ποιήσαντες, ταῖς χρείαις τῶν ἀσθενῶν, διακονήσαντες· ὡς ἔχοντες οὖν πολλήν, τῆς πρὸς αὐτὸν παῤῥησίας τὴν δύναμιν, σωμάτων τε καὶ ψυχῶν, τὰς καχεξίας καὶ νόσους ἰάσασθε, πρυτανεύοντες ὑγείαν, καὶ εἰρήνην Ἅγιοι, τοῖς ὑμῶν τῇ πρεσβείᾳ, μετὰ πίστεως προστρέχουσιν.

Ἕτερα. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Φιλεόρτων συστήματα, ἑορτίως χορεύσωμεν, καὶ ᾀσμάτων ἄνθεσι καταστέψωμεν, τοὺς μαργαρίτας τῆς πίστεως, τὰ ἄνθη τὰ τίμια, Ἐκκλησίας τοῦ Χριστοῦ, Ἰατροὺς τοὺς θεόφρονας, τοὺς ἐκλάμποντας, ἐν χορῷ τῶν Ἁγίων ὡς φωστῆρας, καὶ φωτίζοντας τὴν κτίσιν, τῇ τῶν θαυμάτων φαιδρότητι.

Οἱ τὴν χάριν πλουτήσαντες, καὶ τὰς νόσους ἰώμενοι, Ἰατροὶ ὡς ἄριστοι ἐπισκέψασθε, ἡμῶν τὴν πᾶσαν ἀσθένειαν, καὶ πρόστητε Ἅγιοι, τῇ θερμῇ ἐπισκοπῇ, τῆς ὑμῶν ἀντιλήψεως, τοῖς δουλεύουσι, φιλοπόνως ὑγείας ἐν τῷ χώρῳ, πρυτανεύοντες πλουσίως, αὐτοῖς σοφίαν καὶ δύναμιν.

Πεφυκότες φιλόθεοι, τῆς ἀγάπης γνωρίσμασιν, Ἰατροὶ φιλάνθρωποι ἐγνωρίσθητε, καρποφοροῦντες τῆς πίστεως, τὸν λόγον τὸν ἅγιον, καὶ Θεὸν τὸν ἐν ὑμῖν, ἐνεργοῦντα δοξάζοντες· ᾧ πρεσβεύετε, τοῦ διδόναι ὑγείαν ἡμῖν πᾶσι, τοῖς ὑμῶν τῇ μεσιτείᾳ, ἐν μετανοίᾳ προστρέχουσιν.

Δόξα. Ἦχος πλ. β′.

Δεῦτε εὐφημήσωμεν, τὴν πολυάριθμον σύναψιν, θεοφόρων Ἰατρῶν, τοὺς ἐν Ἁγίων τῷ χορῷ, ὡς ἀστέρας ἀπαστράπτοντας. Οὗτοι γὰρ Χριστὸν ἀγαπήσαντες, ἐν τῷ ὀνόματι αὐτοῦ, τὴν ἰατρικὴν ἐπιστήμην ἐξήσκησαν, καὶ ὡς αὐτοῦ μιμηταί, διῆλθον ἀνθρώπους εὐεργετοῦντες, καὶ τοὺς πάντας ἰώμενοι. Ὅθεν καὶ πρὸς αὐτούς, ἐκβοήσωμεν λέγοντες· Ἄνθρωποι Θεοῦ, οἱ εὐαγγελικῶς ἐπὶ γῆς, τῆς χάριτος δυνάμει πολιτευθέντες, καὶ νῦν ἐν οὐρανοῖς, τῆς χαρᾶς ἀπολαύοντες, τῆς ἰαματικῆς ἡμῶν δωρεᾶς, καὶ ἡμᾶς ἀξιώσατε, ἰατρεύοντες τὰ πάθη, τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Καὶ νῦν. Τὸ τοῦ τυχόντος ἤχου Θεοτοκίον.

Εἴσοδος, τό «Φῶς ἱλαρόν», τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ′, 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. ε′, 15-23, στ′ 1-3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾿ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. δ′, 7-15)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α′.

Ἰατρικῇ ἐπιστήμῃ, τὴν ἀρετὴν συνάψαντες, ἐν Χριστοῦ τῷ ὀνόματι, τῶν ἀσθενούντων ταῖς χρείαις, φιλανθρώπως ἐπηρκέσατε, καὶ Παρακλήτου τὴν χάριν, ἐνεργοῦσαν ἐν ὑμῖν, ἔργῳ ἐπιδείξασθε, οἱ εὐαγγελικῶς ἐξ Ἰατρῶν, ἁγιωσύνης εἰς ὕψος ἀναβάντες. Ὅθεν πρεσβεύετε Θεῷ, τοῦ

δωρήσασθαι ἡμῖν, τὴν κατ᾽ ἄμφω ὑγείαν, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν, ὡς μόνος ἐν ἐλέει ἀνείκαστος.

Ἦχος β΄.

Τῆς οὐρανίου δόξης, γεγονότες ἐρασταί, ψυχῶν τε καὶ σωμάτων τὸν ἰατρόν, Χριστὸν ἐμιμήσασθε, καὶ αὐτῷ διὰ πίστεως, τὴν θύραθεν γνῶσιν ὑποτάξαντες, ἐν Ἐκκλησίᾳ Θεοῦ ζῶντος, ἰατροὶ φιλάνθρωποι ἐγνωρίσθητε, τῇ διακονίᾳ τῶν ἀδελφῶν, ἐν ἀπαρνήσει σεαυτῶν προσκαρτεροῦντες, ὡς τὴν ἀγάπην φυλάττοντες. Ἀλλ᾽ ὦ Ἅγιοι Ἰατροί, ὡς ἐξ ὕψους τὴν δωρεάν, τῶν ἰαμάτων καὶ μετὰ πότμον, ἀτελεύτητον ἔχοντες, ψυχῶν τε καὶ σωμάτων ἡμῶν, τὰ πάθη ἰάσασθε.

Ἦχος γ΄.

Ἅγιοι Ἰατροί, θεοφόροι μακάριοι, Θεοῦ τῷ νόμῳ ὑποκλιθέντες, καὶ τοῦτον τηρήσαντες, τὴν δωρεὰν παρ᾽ αὐτοῦ, πλουσιοτάτην ἐλάβετε, καὶ διὰ παντὸς ἀδιάληπτον ἐκτήσασθε, τῶν ἰαμάτων τὴν ἀνάλυσιν. Ὅθεν τοῖς πιστοῖς, τῶν θαυμάτων τὰ ῥεῖθρα πηγάζετε, ὡς ποταμοὶ ἐξ ζωηφόρου πηγῆς, τῆς χάριτος ἀναβλύζοντες, καὶ ἐκπλύνετε ῥύπους παθῶν, ἐκ τῶν ὑμῖν προσιόντων, καὶ τελούντων εὐλαβῶς, τὴν ὑμῶν ἑόρτιον σύναξιν.

Δόξα. Ἦχος δ΄.

Δεῦτε πιστοί, Ἰατρῶν Ἁγίων, τὸν χορὸν εὐφημήσωμεν· μετὰ πότμον γὰρ ὡς καὶ ζῶντες, τὴν ἀθάνατον χάριν, τοῦ Παρακλήτου ἔχοντες, εὐεργεσίας δωρεάς, τοῖς ἀνθρώποις παρέχουσι, ψυχῶν ὁμοῦ καὶ σωμάτων, τά πάθη θεραπεύοντες, καὶ τοῖς θαύμασι κηρύττοντες, Τριάδα ὁμοούσιον, ἐν μιᾷ Θεότητι.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων, τοὺς δούλους σου φύλαττε, Εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, ψάλλομεν τὰ Ἀναστάσιμα τοῦ τυχόντος ἤχου.

Δόξα. Ἦχος πλ. α΄.

Πανήγυρις σήμερον, ἠγλαϊσμένη, ὀλβία ἐπεφάνη, ἀνθρώπων εὐαγγελικῶν, χριστομιμήτων Ἰατρῶν, εἰκόνων ἀγάπης ἐμψύχων, τῆς πρὸς Θεὸν καὶ τὸν πλησίον, ἐφ᾽ οἷς χαίρει σφόδρα, τῶν Ὀρθοδόξων τὸ πλήρωμα. Δεῦτε οὖν ἀδελφοί, ἑορτίως τούτους μακαρίσωμεν, καὶ

ἀλλήλοις ὑπαμείβοντες ᾄσμασι, χορεύσωμεν ἀγαλλιώμενοι, καὶ ἐν μιᾷ φωνῇ εἴπωμεν· Ὑμεῖς ἐστε τῆς Μάνδρας Χριστοῦ οἱ ἄρνες· ὑμεῖς ἐστε τῆς πίστεως, ἄνθη τὰ τίμια· ὑμεῖς οἱ λύχνοι οἱ φαεινοί, οἱ ἐξ ἰατρικῆς ἐπιστήμης τῆς λυχνίας, τῇ Ἐκκλησίᾳ φαίνοντες· ὑμεῖς ἰατρῶν παραδείγματα, καὶ τῶν ὑπὲρ τῆς ὑγείας τῶν πολλῶν κοπιώντων, βοηθοί καὶ παραστάται ἀκοίμητοι. Ἀλλ᾽ ὡς ἔχοντες πρὸς Θεόν, παῤῥησίας τὴν χάριν, αὐτῷ πρεσβεύετε, διδόναι ἡμῖν ἀσθενειῶν ἀπαλλαγήν, καὶ πταισμάτων τὴν συγχώρησιν.

Καὶ νῦν. Θεοτοκίον.

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε Πάνσεμνε, δι᾽ ἧς ὁ Λυτρωτής μου, Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ᾽ εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

«Νῦν ἀπολύεις», τὸ Τρισάγιον, τὸ Ἀναστάσιμον Ἀπολυτίκιον, καὶ τὸ τῶν Ἁγίων.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ι᾽ατρείας τὴν γνῶσιν, τῷ Θεῷ ὑποτάξαντες, καὶ τῇ ἐπιστήμῃ ἀγάπης, ἐν τοῖς ἔργοις δουλεύσαντες, ὡς ἔφη ὁ Χριστὸς εἰς ἑκατόν, ἐκτήσασθε τῶν πόνων τὸν μισθόν, εἰς αἰῶνας μαρτυρούμενοι Ἰατροί, τοῖς θαύμασι τῶν νοσούντων. Δόξα τῷ θαυμαστώσαντι ὑμᾶς, δόξα τῷ χαριτώσαντι, δόξα τῷ δωρουμένῳ δι᾽ ὑμῶν, πᾶσιν ἰάματα.

Ἕτερον. Ἦχος γ΄. Θείας πίστεως.

Θείας χάριτος, τῇ συνεργίᾳ, ἐπαρκέσαντες, τῶν ἀσθενούντων, ταῖς ἀνάγκαις καὶ χρείαις μακάριοι, ἐν Ἰατροῖς ἐγνωρίσθητε Ἅγιοι, Θεοῦ τὴν δόξαν τοῖς πέρασι φαίνοντες. Ὅθεν πάντοτε, αὐτῷ ἐκτενῶς πρεσβεύετε, ὑγείαν καὶ χαρὰν ἡμῖν δωρήσασθαι.

Τὸ ὁμόηχον Θεοτοκίον.

**ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ**

Μετὰ τὴν α΄ Στιχολογίαν καὶ τὴν β΄ Στιχολογίαν ψάλλομεν Καθίσματα τὰ Ἀναστάσιμα. Μετὰ δὲ τὸν Πολυέλεον εὐθὺς τὰ Εὐλογητάρια. Αἴτησις

παρὰ τοῦ Ἱερέως καὶ ἡ Ὑπακοὴ τοῦ ἤχου, χῦμα. Εἶτα τὸ Κάθισμα τῶν Ἁγίων.

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τίμιον ὅμιλον, ἀνευφημήσωμεν, ἔνθεον ἄθροισμα, ἐγκωμιάσωμεν, τῶν ἐν Ἁγίοις Ἰατρῶν, καὶ κράξωμεν ὁμοφώνως· Οἱ ἐκμιμησάμενοι, τοῦ Δεσπότου τὸ ἔλεος, καὶ καταξιούμενοι, τῆς αὐτοῦ παραστάσεως, ὑγείαν καὶ εἰρήνην τελείαν, πᾶσιν ἡμῖν θερμῶς αἰτεῖσθε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Ἡ σωματώσασα, τὸν πρὶν ἀσώματον, καὶ γαλουχήσασα, αὐτὸν ὡς νήπιον, θεομακάριστε Ἁγνή, Παρθένε Εὐλογημένη, οἰκτιρμῶν ὡς ἔχουσα, θησαυρὸν ἀδαπάνητον, ῥῦσαι πάσης θλίψεως, καὶ παντοίων κακώσεων, τοὺς πόθῳ σοι ἀπλέτῳ βοῶντας· Χαῖρε ἡ Κεχαριτωμένη.

Οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ ἐνδιάτακτον Ἑωθινὸν Εὐαγγέλιον. Μετὰ δὲ τό, «Ἀνάστασιν Χριστοῦ», καὶ τὸν Ν΄ ψαλμὸν ψάλλομεν τὰ συνήθη. Εἶτα οἱ Κανόνες· Ὁ Ἀναστάσιμος εἰς δ΄, ὁ τῆς Θεοτόκου εἰς β΄, καὶ ὁ τῶν Ἁγίων εἰς στ΄. Κανὼν τῶν Ἁγίων οὗ ἡ Ἀκροστιχὶς ἐν τοῖς Θεοτοκίοις καὶ τῇ θ΄ ᾠδῇ· «Κυρίλλου Ῥόδου».

ᾨδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Συνδράμωμεν σήμερον, καὶ γεγηθότες ὑμνήσωμεν, τὸ τίμιον ἄθροισμα, τῶν ἱερῶν Ἰατρῶν, ὡς τοῖς θαύμασιν, ἡμᾶς εὐεργετοῦντας, καὶ νόσων διώκοντας, πᾶσαν ἐπήρειαν.

Οἱ θεῖοι Ἀνάργυροι, ὡς παμφαέστατοι ἥλιοι, σημείοις καὶ τέρασι, τῇ δωρεᾷ τοῦ Χριστοῦ, καταυγάζουσι, φαιδρῶς τῆς γῆς τὸ πλάτος, τὸ σκότος διώκοντες, νόσων καὶ θλίψεων.

Τελείαν τὴν ἄσκησιν, ἐν τῶν Σπηλαίων ἐτέλεσαν, τῇ Λαύρᾳ ὡς Ἄγγελοι, Ἀγαπητῶν ἡ δυάς, καὶ ἐλάμπρυναν, αὐτὴν πρὸς τοὺς νοσοῦντας, τὴν μέριμναν ἄπαυστον, ἐπιδειξάμενοι.

Ἐν Χίῳ ἐτέλεσεν, ἀκαταπλήκτῳ φρονήματι, Μαρτύρων τὸ στάδιον, ὁ ἰατρὸς Ἀγγελῆς, καὶ κατήσχυνεν, ἐν χρόνοις τῆς δουλείας, τυράννων τὸ φρύαγμα, ῥώμη τῆς πίστεως.

Ο῾ θεῖος Ἀλέξανδρος, ὁ ἐν Λουγδούνῳ ὡς ἥλιος, ἐκλάμπει ἀείφωτος, ἐν ἰατρῶν τῷ χορῷ· τῶν νοσούντων γάρ, φροντίζων φιλαδέλφως, ἀθλήσει ἀνέδραμε, πρὸς τὰ οὐράνια

Θεοτοκίον.

Κυρία Πανάχραντε, παρθενικῶν ἐξ αἱμάτων σου, τὸν Λόγον ἐκύησας, τοῦ προανάρχου Πατρός, ὡς ηὐδόκησεν, αὐτὸς δι᾿ εὐσπλαγχνίαν, τὸν κόσμον λυτρούμενον, τῆς παραβάσεως.

Ὠιδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Α᾿νδρῶν μιαιφόνων ἐξουσίας, ἀντέστη ἐγκλήμασι δεινοῖς, ὁ θαυμαστὸς Ἀλέξανδρος, ἐν ἰατροῖς ὁ ἄριστος, καὶ τῇ ἐνστάσει γέγονε, Μαρτύρων δόξης συμμέτοχος,

Χριστοῦ ὁλοτρόπως ὑπακούων, τοῖς λόγοις ὁ Αἰμιλιανός, ὡς ἰατρὸς φιλάνθρωπος, ἐν Ἀφρικῇ διέπρεψε, καὶ τῶν εἰδώλων ἔθραυσεν, εἰδώλων πλάνης τὸ μάταιον.

Πλοκὰς ἀντιθέους τῶν τυράννων, αἰσχύνας ἐν ῥήματι Θεοῦ, ἐν Σεβαστείᾳ ἤθλησεν, ὁ ἰατρὸς Ἀντίοχος, καὶ κληρονόμος γέγονε, τῆς αἰωνίου λαμπρότητος.

Παθῶν τῇ ἀσκήσει καθαρεύσας, ἐδείχθη οὐράνιος ποιμήν, ὁ θεῖος Βαρσανούφιος, πρὸς ἀσθενεῖς τὴν μέριμναν, ὁ ἐπιδείξας ἄμετρον, Χριστῷ ὡς πέλων ὑπήκοος.

Ο῾ τῆς Καισαρείας Ἱεράρχης, ὁ Μέγας Βασίλειος πολύ, τῇ πίστει ἐπεδείξατο, πρὸς ἀσθενεῖς τὸ ἔλεος, καὶ τῷ Χριστῷ ἐποίησε, προθύμως τούτοις ποιούμενος.

Θεοτοκίον.

Υ῾μνεῖ, εὐφημεῖ σε καὶ δοξάζει, Παρθένε Ἁγνὴ πᾶσα πνοή· αἶσχος γὰρ τὸ τῆς φύσεως, τὸ παλαιὸν ἐκάθηρας, τὸν τῆς Τριάδος Δεύτερον, ἀπεριφράστως κυήσασα.

Κάθισμα τῶν Ἁγίων. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Α῾γίων θεόλεκτος, ὑμνολογείσθω πληθύς, τῇ πίστει οἱ λάμψαντες, ἐν Ἰατρῶν τῷ χορῷ, ἀστέρες ὡς ἄδυτοι, ὅτι ἐν Παραδείσῳ, τῷ Θεῷ

παρεστῶτες, βλύζουσιν ἰαμάτων, ἀκεσώδυνον χάριν, ἡμῖν τοῖς ἐπιτελοῦσιν, αὐτῶν τὸ μνημόσυνον.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Α᾿φράστως ἐκύησας, δίχα τροπῆς καὶ φυρμοῦ, τὸν Λόγον τὸν ἄναρχον, τοῦ προανάρχου Πατρός, Ἁγνὴ ἐξ αἱμάτων σου, σώζοντα τοῦ γενάρχου, τῆς πικρᾶς καταδίκης, πλούτῳ φιλανθρωπίας, τὸ ἀνθρώπινον γένος· διό σε ὡς Θεοτόκον, ἀεὶ μεγαλύνομεν.

Τὸ Ἀναστάσιμον Κοντάκιον, ὁ Οἶκος καί τό Μηνολόγιον ἐκ τοῦ Μηναίου· εἶτα δέ τό κάτωθι.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμην ἐπιτελοῦμεν πάντων τῶν Ἁγίων Ἰατρῶν.

Στίχοι.
Ἐπιστήμῃ λάμψαντες καὶ πίστει ἅμα,
Δεξιᾷ ἐστέφθητε τῇ ζωηφόρῳ.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἐξαποστειλάριον τὸ Ἀναστάσιμον καὶ τὸ κάτωθι τῶν Ἁγίων.

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ι᾿ατρικῇ ἐμπρέψαντες, ἐπιστήμῃ ἐνθέως, ὡς ταύτην ὑποτάξαντες, τοῦ Κυρίου τῷ νόμῳ, ἐν οὐρανοῖς ἀξιοῦσθε, τῆς χαρᾶς τῶν Δικαίων, καὶ ἰαμάτων Ἅγιοι, πρυτανεύοντες χάριν, τῶν ἐπὶ γῆς, ἀσθενούντων παύετε τὰς ὀδύνας· διὸ ὑμᾶς γεραίρομεν, τὴν Τριάδα αἰνοῦντες.

Θεοτοκίον. Ὅμοιον.

Ο῾ ἀνατείλας Ἥλιος, ἐκ παστοῦ ὡς Νυμφίος, ἀπὸ τοῦ τάφου σήμερον, καὶ τὸν Ἅιδην σκυλεύσας, καὶ θάνατον καταργήσας, σὲ Τεκούσης πρεσβείαις, φῶς ἡμῖν ἐξαπόστειλον, φῶς φωτίζον καρδίας, καὶ τὰς ψυχάς, φῶς βαδίζειν ἅπαντας ἐμβιβάζον, ἐν τρίβοις προσταγμάτων σου, καὶ ὁδοῖς τῆς εἰρήνης.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. η΄ καὶ ψάλλομεν Στιχηρὰ Ἀναστάσιμα τῆς Ὀκτωήχου δ΄ καὶ τῶν Ἁγίων δ΄, τὰ κάτωθι.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τὴν μακαρίαν χορείαν, ἀνευφημήσωμεν, τῶν Ἰατρῶν Ἁγίων, πρὸς αὐτοὺς ἐκβοῶντες· Οἱ χάριν ἰαμάτων παρὰ Θεοῦ, εἰληφότες ἀκένωτον, αὐτῆς τὰς δόσεις βραβεύετε δαψιλῶς, τοῖς πιστῶς ὑμῖν προστρέχουσιν.

Τῆς ἰατρείας τὴν γνῶσιν, καταπλουτήσαντες, ηὐξήσατε τῇ πίστει, ὁ Δεσπότης ὡς ἔφη, τό τάλαντον καὶ δόξης τῆς θεϊκῆς, κοινωνοὶ ἀνεδείχθητε, θεομακάριστοι Ἅγιοι Ἰατροί, ἡμῖν βλύζοντες ἰάματα.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Φιλαδελφίας τὸν πλοῦτον, ὡς θησαυρίσαντες, καὶ θησαυροὶ ὀφθέντες, ἰαμάτων τῷ κόσμῳ, αἰτεῖσθε θείαν χάριν τοῖς ἰατροῖς, τοῖς ὑμᾶς παραδείγματα, ἰατρικῆς ἐπιστήμης κατὰ Θεόν, Ἰατροὶ θεῖοι, γνωρίζουσιν.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Τῷ Ἰατρῷ ἐν ὑψίστοις, συμπαριστάμενοι, ψυχῶν τε καὶ σωμάτων, τῷ Χριστῷ θεοφόροι, βραβεύετε ὑγείαν πᾶσιν ἡμῖν, ἐκτενῶς ἱκετεύοντες, ὑπὲρ ἡμῶν ἐκτελούντων χαρμονικῶς, τὴν ὑμῶν σήμερον σύναξιν.

Δόξα. Ἦχος πλ. δ'.

Τῶν Ἁγίων Ἰατρῶν ὁ χορός, ἐν πανηγύρει κοινῇ σήμερον συνδραμών, τῆς Ἐκκλησίας τὸν λαὸν καταπυρσεύει, τῇ τῶν θαυμάτων νοητῇ φωτοχυσίᾳ· καὶ τὴν ἀγάπην ὡς Θεοῦ ἐντολήν, τῇ οἰκουμένῃ τρανῶς ἀνακηρύττει. Οὓς εὐφημίαις ᾀσμάτων, ἐπαινοῦντες βοήσωμεν· Ὦ ἄθροισμα θαυμαστόν, ἰατρικῆς ἐπιστήμης, καὶ χάριτος βλαστήματα· ἄνδρες εὐαγγελικοί, τῶν ἰατρῶν παραδείγματα· οἱ τοῦ Χριστοῦ μιμηταί, οἱ εὐεργετοῦντες διελθόντες, καὶ τὰ νόσους ἰώμενοι· οἱ τῶν ψυχῶν ἰατῆρες, καὶ τῶν σωμάτων θεραπευτές, οἱ τῶν νοσούντων ἀντιλήπτορες· ἐκτενῶς πρεσβεύετε, ὑπὲρ ὑγείας καὶ εἰρήνης, τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ὑπερευλογημένη ὑπάρχεις...

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοί, ἐν οἷς ψάλλομεν δ′ τῆς Ὀκτωήχου καὶ ἐκ τοῦ Κανόνος τῶν Ἁγίων τὴν στ′ Ὠιδήν. Ἀπόστολον τῶν Ἁγίων, ὅνπερ ζήτει τῇ α′ Νοεμβρίου. Εὐαγγέλιον τῆς Κυριακῆς.

Κοινωνικόν.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Ἄθροισμα τὸ θεῖον τῶν Ἰατρῶν, τῶν εὐφραινομένων, τῶν Ἁγίων ἐν ταῖς σκηναῖς, τιμήσωμεν πάντες, ἵνα αὐτῶν πρεσβείαις, ψυχῶν τε καὶ σωμάτων, τὴν ῥῶσιν λάβωμεν.